## ΣΥΚΟΦΑΝΤΗΣ, ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

BISETVS. Συκοφάντης τὶς πενόμενος ἔρχεται, ὃν Πεισθέταιρος ὀνειδίζει, καὶ λοιδορεῖ.

Συ. Ορνιθες τίνες οἵδε.
Οὐδὲν ἔχοντες πτεροποίκιλοι.
Τανυσίπτεροι ποικίλα χελιδοῖ;
Πι. τουτὶ τὸ κακὸν οὐ φαῦλον ἐξεγρήγορεν.
Ὅδ᾽ αὖ μινυρίζων δεῦρό τις προσέρχεται.
Συ. Τανυσίπτερε ποικίλα μάλ᾽ αὖθις.
Πι. Ἐς θοἰμάτιον τὸ σκολιὸν ᾄδειν μοι δοκεῖ.
Δεῖσθαι δ᾽ ἔοικεν οὐκ ὀλίγων χελιδόνων.
Συ. τίς ὁ πτερῶν δεῦρ᾽ ἐστὶ τοὺς ἀφικνουμένους.
Πι. Ὁδὶ πάρεστιν. ἀλλ᾽ ὅτου χρή, δεῖ λέγειν.
Συ. Πτερῶν. πτερῶν δεῖ. μὴ πύθῃ τὸ δεύτερον.
Πι. Μῶν εὐθὺ Πελλήνης πέτεσθαι διανοεῖ;
Συ. Μὰ Δία ἀλλὰ κλητήρ εἰμι νησιωτικός.
Καὶ συκοφάντης. Πι. ὦ μακάριε τῆς τέχνης.
Συ. Καὶ πραγματοδίφης. εἶτα δέομαι πτερὰ λαβὼν
Κύκλῳ περισοβεῖν τὰς πόλεις καλούμενος.
Πι. Ὑπαὶ πτερύγων τι προσκαλεῖν σοφώτερον;
Συ. Μὰ Δί᾽ ἀλλ᾽ ἵν᾽ οἱ λῃσταί γε μὴ λυπῶσί με.
Μετὰ τῶν γεράνων τ᾽ ἐκεῖθεν ἀναχωρῶ πάλιν,
Ἀνθ᾽ ἕρματος πολλὰς καταπεπωκὼς δίκας.
Πι. τουτὶ γὰρ ἐργάζει σὺ τοὔργον εἰπέ μοι.
Νεανίας ὤν, συκοφαντεῖς τοὺς ξένους;
Συ. Τί γὰρ πάθω; σκάπτειν γὰρ οὐκ ἐπίσταμαι.
Πι. Ἀλλ᾽ ἔστιν ἕτερα νὴ Δί᾽ ἔργα σώφρονα,
Ἀφ᾽ ὧν διαζῆν ἄνδρα χρῆν τοσουτονί,
Ἐκ τοῦ δικαίου μᾶλλον, ἢ δικορραφεῖν.
Συ. Ὦ δαιμόνιε. μὴ νουθέτει μ᾽, ἀλλὰ πτέρου.
Πι. Νῦν τοῦτα λέγων πτερῶ σε. Συ. καὶ πῶς ἂν λόγοις
Ἄνδρα πτερώσειας σύ; Πει. πάντες τοῖς λόγοις
Ἀναπτεροῦνται. Συ. πάντες; Πει. οὐκ ἀκήκοας,
Ὅταν λέγωσιν οἱ πατέρες ἑκάστοτε
Τοῖς μειρακίοις ἐν τοῖσι κουρείοις ταδί;

Σχόλια. Ορνιθες τίνες οἵδε.] συκοφάντης τὶς πενόμενος καὶ εἰς τὴν αὐτοῦ πενίαν ᾄδων· ἐπειδὴ μηδὲν εἶχεν, ἐκ πρώτων λόγων, συκοφαντεῖ τοὺς ὄρνιθας, ὡς ἐναντίως ἐχόντων τὸ σχῆμα τῆς τῶν ὀρνέων φύσεως. εἴη δ᾽ ἂν εἰς τὸ σχῆμα τοῦ πρεσβυτέρου ἀφορῶν. τινὲς δὲ παρὰ τὰ Ἀλκαίου. ὄρνιθες τίνες οἵδε, ὠκεανῷ γὰρ ἀπὸ περάτων ἦλθον, πανέλοπες ποικιλόδειροι τανυσίπτεροι καὶ παρὰ τὰ Σιμωνίδου, ἄγγελε κλυτὰ ἔαρος καὶ ἁδυόδμου κυανέα χελιδοῖ. Ποικίλα μάλ᾽ αὖθις.] τοῦτό φησι πρὸς τὸ ῥυπαρὸν καὶ ποικίλον τοῦ ἱματίου αὐτοῦ. Οὐκ ὀλίγων χελιδόνων] ἐπειδὴ συνεχῶς χελιδόνας λέγει, τοιοῦτόν τι φησίν. ἔαρος χρήζει. παλαιὸν γὰρ χιτῶνα ἔχει. τὸν νοῦν δὲ τῆς παροιμίας μετείληφε τό, μία χελιδὼν ἔαρ οὐ ποιεῖ. Τίς ὁ πτερῶν.] πρὸς τὸ σχῆμα ᾧ χρῶνται συνεχῶς οἱ νέοι συγγραφεῖς. τίς ὁ πτερῶν, ἀντὶ τοῦ τίς πτεροῖ.

BISETVS. Ὅτου χρή] οὗ τινος, οὗ χρήζει, οὗ χρείαν ἔχει, οὗ δεῖ. περὶ δὲ τούτου ἄνω ἐν τῷ χρῆσθαι, διὰ πλειόνων εἴρηται.

Σχόλια. Πτερῶν πτερῶν δεῖ.] παρὰ τὸ Αἰσχύλου ἐκ Μυρμιδόνων. ὅπλων, ὅπλων δεῖ. Μῶν εὐθὺ Πελλήνης] ἐπεὶ ἐν Πελλήνῃ ἐν τοῖς Ἡραίοις, ἆθλον ἐτίθετο χλαῖνα. χλαῖναι δὲ διαφέρουσαι ἐν Πελλήνῃ γίνονται. οἱ δέ, ὅτι Ἑρμαῖα ἄγεται ἐν Πελλήνῃ τῆς Ἀχαΐας καὶ τοῦτο ἐπαθλον τίθεται. Κλητήρ εἰμι] κλητὴρ λέγεται, ὁ καλῶν εἰς τὸ δικαστήριον πάντας. σημαίνει δὲ ἡ λέξις καὶ τὸν μάρτυρα. νησιωτικὸς δὲ ὁ τοὺς τὰς νήσους οἰκοῦντας συκοφαντῶν καὶ εἰς δικαστήριον ἄγων.

BISETVS. Πραγματοδίφης] Σ. ὁ δικολόγος. ὁ

## SYCOPHANTA, PISTHETERVS.

A

CAL. Aves qui hi, nihil habentes alis variij,
B Extensis alis varia hirundines.
PI. Hoc malum non malum euigilauit?
Hic autem rursus lugens, huc aliquis aduenit.
Cal. Extensæ alis varia valde iterum.
PI. In pallium malignum cantare mihi videtur,
Indigere autem apparet non paucarum hirundinum.
C CAL. Quis alans hic est aduenientes?
PI. Hic adest, sed quo opus est oportet debere.
CAL. Alis, alis opus est, ne interroga secundò.
PI. Nunquid rectà Pellenem volare cogitas?
CAL. Per Iouem, sed vocator sum insularis,
Et calumniator. PI. O beate arte.
CAL. Et molestiarum inquisitor. postea indigeo alas capiens.
D Circulo circuire ciuitates vocans.
PI. Ab alis quid aduocare sapientius?
CAL. Per Iouem, sed vt latrones non tristificent me,
Cum gruibúsque illinc recedo iterum,
Pro lapide multas bibens pœnas.
PI. Quod enim operaris tu opus dic mihi?
Iuuenis existens calumniaris hospites?
Cal. Quid enim patiar? fodere non scio.
E PI. Sed sunt alia per Iouem opera modesta,
A quibus degere virum oportebat tantum,
Ex iusto magis quàm pœnas suere.
Cal. O felix, ne admone me, sed ala.
PI. Nunc hæc dicens alo te. Cal. & quomodo verbis
Virum alabis tu? PI. omnes verbis
Alantur. SY. omnes? PI. non audiuisti?
Quando dicunt patres semper
Adolescentulis, in apothecis tonsoriis hæc,

F

G